TEZAUR LITURGIC

## 2 OCTOMBRIE

HARALAMBOS BOUSIA

# PARACLISUL SF.CUVIOS ANDREI DE LA CONSTANTINOPOL

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΟΝΑΣ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΑ ΔΙΑ ΧΡΙΣΤΟΝ ΣΑΛΟΥ

## Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὅ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς:

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν καταράξαντα ἐχθροῦ μεθοδείας, ἐν τρόποις ξένοις, ἐν σαλότητι βίου, ἐν πνεύματος πραότητι καὶ ἐν ἀκλινεῖ, ἐμπαιγμῷ, τιμήσωμεν θεοφόρον πατέρα, τὸν κλεινὸν συνώνυμον Πρωτοκλήτου, βοῶντες· ὑπὲρ ἡμῶν, Ἀνδρέα, ἐκτενῶς Χριστὸν δυσώπει, τῶν ὕμνοις τιμώντων σε.

Δόξα, Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν πότε, Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν' ψαλμὸς καὶ ὁ κανών, οὗ ἡ ἀκροστιχίς· «Ἀνδρέα, ἐπίγειε ἄγγελε, ἐπάκουσόν μοι. Χ.»

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ἀνδρέα, ἐπίγειε ἀσκητά, συνόμιλε δόξης, τῶν ἀγγέλων ἐν οὐρανοῖς αὐτῶν τῆς χαρᾶς ἀξίωσόν με, τὸν ἐκδεχόμενον χάριν τὴν θείαν σου.

Νικήσας, Ἀνδρέα, τὸν πονηρόν, ἀσκήσει συντόνῳ, ταπεινώσει καὶ προσευχῇ, ὁδὸν καθυπέδειξας ἀρίστην, ἡμῖν βαδίσαι τοῖς σὲ μακαρίζουσι.

Δικαίως ἠξίωσαι δωρεῶν, ἀφθίτων, Ἀνδρέα, ὁ γυμνότητι καὶ λιμῷ, ἄνυσας τὸν βίον, ἵνα πάντας, λιμοῦ ἐπάρσεως σώσῃς σοὺς πρόσφυγας.

Θεοτοκίον.

Ῥοὰς τῶν δακρύων μου, Μαριάμ, ἀπόσμηξον μάκτρῳ, τῶν ἐνθέρμων σου προσευχῶν, πρὸς Ὃν ἀπεκύησας ἀφράστως, μονογενῆ σου Υἱόν, Μητροπάρθενε.

Ὠδὴ γ'. Οὐρανίας ἁψίδος.

Ἐγκωμίοις, Ἀνδρέα, σὲ μυστικοῖς στέφοντες, τάς πρὸς τὸν Θεὸν ἱκεσίας, σοῦ ἐκδεχόμεθα, ἵνα ἐχθροῦ μηχανάς, τάς πολυπλόκους ταχέως, ἀσκητὰ θεόφιλε, καταπατήσωμεν.

Ἀσκητῶν ὡραιότης, ὁ βιοτὴν πρόσκαιρον, ἀπαθῶς ἐμπαίζων, Ἀνδρέα, πᾶσιν ὑπόδειξον, ἡμῖν ἀρίστην ὁδόν, πρὸς οὐρανίους ἐπάλξεις, ἄγουσαν τοῖς μέλπουσι, σὰ κατορθώματα.

Ἐξανθήσας ὡς ῥόδον, ἐν ταῖς αὐλαῖς εὔοσμον, τοῦ Θεοῦ ἡμᾶς εὐωδίας, ἔπλησας ἅπαντας, τοὺς ἐκβοῶντας πιστῶς· χαῖρε, Ἀνδρέα, μεσῖτα, ἔνθερμε πρὸς Κύριον, τῶν εὐφημούντων σε.

Θεοτοκίον.

Παναγία Παρθένε, τῶν ἀσθενῶν ἴασις, καὶ τραυματιῶν θεραπεία, σοῦ τῶν δεήσεων, φαρμάκῳ ἄλγη ψυχῶν, ἡμῶν θεράπευσον τάχος, καὶ σωμάτων, ἄχραντε, Θεογεννήτρια.

Ὁμόζηλε ἀγγέλων δόξῃς, Ἀνδρέα πνευματοφόρε, ὁ σαλότητος τὴν ὁδὸν βαδίσας ὡς ἔξηχος, ἀξίωσον δόξης ἡμᾶς ἀφθίτου.

Ἐπίβλεψον ἐν εὐμένεια, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Ἀνδρέα σοφέ, μωράνας προσποιήσεσι, μωραῖς σοῦ ἐχθρόν, τὸν σοφιστήν, πανόλβιε, τῆς κακίας, τήρησον ἀπαθεῖς ἐν τῷ κόσμῳ σοὺς πρόσφυγας, καὶ κοινωνοὺς ἀνάδειξον ἡμᾶς, χαρᾶς αἰωνίου τοὺς τιμῶντάς σε.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἴθυνόν με, ἐπώνυμε, τῆς ἀνδρείας, κῆπον πρὸς εὐωδέστατον, σωφροσύνης καὶ συνέσεως, θαυμαστὲ Ἀνδρέα, κῆπε χάριτος.

Γεγηθότες βοῶμέν σοι, ὁ εἰς ὕψος φθάσας ἀποκαλύψεων, θεῖον, ἴσχυσον ἱκέτας σου, νόμων εἰς Ὑψίστου φθάσαι πλήρωσιν.

Ἐκ Θεοῦ κλῆσιν εἴληφας, ὅσιε Ἀνδρέα, τῆς προσποιήσεως, τοῦ ἐξήχου καὶ τὴν δύναμιν, προστατεύειν ὕμνοις τοὺς τιμῶντάς σε.

Θεοτοκίον.

Ἰσχυροὺς δεῖξον, Δέσποινα, ἐν τοῦ βίου μάχαις τοὺς μακαρίζοντας, σὲ εὐτάκτως καὶ τὴν χάριν σου, ἀρετῆς πρὸς κτῆσιν ἐκζητοῦντάς σου.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ἐν σεπτῷ ναῷ, Βλαχερνῶν ὁ θεασάμενος, Θεοτόκον, περισκέπουσαν πιστούς, σκέπε, ἅπαντας, Ἀνδρέα, τοὺς τιμῶντάς σε.

Ἄνερ ἱερέ, ὁ κυσὶ συναυλισάμενος καὶ γευσάμενος, Ἀνδρέα, διωγμούς, ἕλκυσόν με πρὸς ζωήν, τὴν αἰωνίζουσαν.

Γνῶναι τοῦ Θεοῦ, τὰ σωτήρια ἐντάλματα, καταξίωσον, Ἀνδρέα, τοὺς πιστῶς, ὥσπερ γνώσεως Θεοῦ, φανὸν ὑμνοῦντάς σε.

Θεοτοκίον.

Γῆθεν πρὸς νομάς, οὐρανῶν ἡμᾶς ἀνάγαγε τοὺς βοῶντας Χαῖρε, Μῆτερ τοῦ Θεοῦ, χαρμονῆς αἰωνιζούσης, κόσμου πρόξενε.

Ὠδὴ στ'. Τὴν δέησιν.

Ἐπάκουσον πάντων δεομένων σου, ἀσκητὰ πνευματοφόρε, Ἀνδρέα, Ἀναστασίας Φαρμακολυτρίας καὶ Θεολόγου δεχθεὶς τὴν βεβαίωσιν, εὐαρεστήσεως Θεοῦ, ἐκ σαλότητος τρόπων τῶν ξένων σου.

Λαμπρότησιν ὁ καλλωπιζόμενος ἀρετῶν, καὶ ὑπὲρ λόγον σοφίας, ὁ ἐν τῇ γῇ τῶν πραέων σκηνώσας, καὶ ἑνωθεὶς τῇ ἀγάπῃ τοῦ Κτίσαντος, Ἀνδρέα, ἕνωσον ἡμᾶς, τοῖς χοροῖς τῶν φιλούντων τὸν Ὕψιστον.

Ἐκδίωξον χαλεπὰ νοσήματα τῶν τιμώντων σε, Ἀνδρέα θέοφρον, καὶ καταπράϋνον τάς ἀλγηδόνας τῶν εὐφημούντων σοὺς τρόπους σαλότητος, δι' ὧν ἐδέξω ἀληθῶς, τὸ βραβεῖον ἀφθίτου λαμπρότητος.

Θεοτοκίον.

Ἐφύμνιον ᾆσμα, Μητροπάρθενε, σοὶ προσάγομεν πιστῶν αἱ χορεῖαι ὅτι ἐν πάσαις κακώσεσι βίου καὶ πειρασμοῖς καὶ δεινοῖς καταφεύγομεν, σῇ προστασία ἀκλινεῖ, καὶ θερμῇ μεσιτίᾳ, πανύμνητε.

Ὁμόζηλε ἀγγέλων δόξῃς, Ἀνδρέα πνευματοφόρε, ὁ σαλότητος τὴν ὁδὸν βαδίσας ὡς ἔξηχος, ἀξίωσον δόξης ἡμᾶς ἀφθίτου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις καὶ Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Σταυρὸν σαλότητος ἀναλαβόμενον ἐπ᾽ ὤμων, καὶ τὸν μωρὸν προσποιούμενον, ἵνα κερδήσῃ ζωὴν τὴν αἰώνιον, Ἀνδρέαν μέλψωμεν, πόθῳ αἰτούμενοι αὐτοῦ τὰς πρεσβείας πρὸς Κύριον.

Προκείμενον. Ἦχος δ'.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

ΕΥΑΓΓΕΛΙΟΝ (ΤΗ͂Ι ΠΕΜΠΤΗ͂Ι ΤΗΣ Δ᾽ ΕΒΔΟΜΑΔΟΣ)

Ἐκ τοῦ κατὰ Ματθαῖον (ια' 27-30)

**Ε**ἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα... Ἦχος β'.

Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Τὸν πολιτευσάμενον, ἐπὶ τῆς γῆς ἰσαγγέλως, καὶ ἐχθροῦ ὀλέσαντα, φάλαγγας ὡς ἔξηχον προσποιήσεσι, ταῖς μωραῖς μέλψωμεν, εὐκλεῆ Ἀνδρέαν, Βασιλίδος ἐνδιαίτημα, καὶ θεῖον μέτοχον, δόξης καὶ εὐκλείας ἀτέρμονος, ἐκθύμως ἀνακραζοντες· ἔμψυχε ναὲ ταπεινώσεως, ῥῦσαι σοὺς ἱκέτας, ἐχθίστου ἐπηρείας καὶ δεινῶν, ἐπερχομένων πρεσβείαις σου, πρὸς Θεὸν τὸν εὔσπλαγχνον.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Πολυτίμητον σκεῦος, Παρακλήτου, Ἀνδρέα, ὁ τὰ ἐσόμενα, δυνάμενος προλέγειν, καὶ βλέπειν τὰ ἐν πόλῳ, μυστικὰ καὶ ἀθέατα, πέμψον ἡμῖν δαψιλῶς, ἐλέη τοῦ Ὑψίστου.

Ἀπολαῦσαι, Ἀνδρέα, εὐφροσύνης ἀλήκτου ἡμᾶς ἀξίωσον, σὲ ἀνυμνολογοῦντας, ὡς σύσκηνον Ἀγγέλων, καὶ συνόμιλον τάγματος, Ὁσίων, διὰ Χριστὸν σαλῶν ἀποκληθέντων.

Κατ᾽ ἐχθροῦ μισοκάλου, νικητὰς σοὺς ἱκέτας ταχὺ ἀνάδειξον, τοὺς ἐπικαλουμένους τὴν θείαν σου πρεσβείαν, πρὸς τὸν εὔσπλαγχνον Κύριον, Οὗ ἀπολαύεις τὸ φῶς, μορφῆς τῆς πανιέρου.

Θεοτοκίον.

Οὐρανῶν ὑπερτέραν, τὴν ἁγνὴν Θεοτόκον καὶ παντευλόγητον, Κυρίαν σκηνωμάτων, τῆς δόξης μελῳδοῦντες, εὐλαβῶς ἀνακράζομεν προστάτις χριστιανῶν, Θεοκυῆτορ, πέλεις.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Ὑμνολογοῦντές σε, θεοφόρε Ἀνδρέα, ὡς ἀείρρυτον κρήνην ἐλέους, σὰς θερμὰς πρὸς Κτίστην, εὐχὰς ἀποζητοῦμεν.

Σταυροῦ δυνάμει, περιφραχθείς, τάς ἐνέδρας, τοῦ ἐχθίστου διέλυσας, πάτερ, θεαυγές, Ἀνδρέα, ἡμῶν ἀκέστορ θεῖε.

Ὁδήγησόν με πρὸς σωτηρίας ἐπάλξεις, ὁ σαλότητι, μάκαρ Ἀνδρέα, σὲ αὐτὸν ἴθυνας, πρὸς θεϊκὰς σκηνώσεις.

Θεοτοκίον.

Νικῆσαι πάθη, σαρκός, ἁγνὴ Θεοτόκε, καταξίωσον σὲ τοὺς ὑμνοῦντας, καὶ δοξολογοῦντας τὸν ἄχραντόν σου Τόκον.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Μωράνας τῆς κακίας, σοφιστήν, Ἀνδρέα, ταῖς σαῖς μωραῖς προσποιήσεσι σόφισον, τοὺς σοὺς ἱκέτας, δεικνύων, αὐτοῖς τὰ κρείττονα.

Ὁμόζηλε μαρτύρων, καὶ ὁσίων πάντων, πνευματοφόρε Ἀνδρέα, ἰσότιμε, ἡμῖν ἱλέωσαι Κτίστην, τὸν πανευΐλατον.

Ὑπέρτερε γηΐνων, καὶ ῥευστῶν, Ἀνδρέα, σοὺς ὑμνητὰς ὑπερόπτας ἀνάδειξον, σχέσεως πάσης προσύλου καὶ ματαιότητος.

Θεοτοκίον.

Μὴ παύσῃ δυσωποῦσα, Κεχαριτωμένη, σὺν τῷ πανσέπτῳ Ἀνδρέᾳ τὸν Τόκον σου, ὑπὲρ τῶν ὕμνοις εὐήχοις μακαριζόντων σε.

Ἄξιόν ἐστι... καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαίροις, τῆς σοφίας καὶ ἀρετῆς, τῆς ἐνθέου πλήρης, προσποιήσεσιν ὁ μωραῖς, διανύσας βίον, ἰσάγγελον, Ἀνδρέα, ἐν πόλει Βασιλίδι, πνευματοφόρητε.

Χαίροις, προσποιήσεσιν ὁ μωραῖς, καὶ σκληραγωγίᾳ, ὑπὲρ ἔννοιαν σεαυτόν, ταπεινώσας μάκαρ, Ἀνδρέα, ἵνα πόλου, εὐκλείας ἀπολαύσῃς καὶ δόξης κρείττονος.

Ἐλεημοσύνης τὸν τιμητήν, ταπεινοφροσύνης, ἐργαστήριον καὶ εὐχῆς, ἀσιγήτου σκεῦος, Ἀνδρέαν, ὡς σοφίας, ταμεῖον τῆς ἐνθέου, ἀνευφημήσωμεν.

Χαίροις, ἐν τεμένει τῶν Βλαχερνῶν, τὴν ἁγνὴν Παρθένον θεασάμενος τοὺς πιστούς, σκέπουσαν, Ἀνδρέα, αὐτῆς τῷ μαφορίῳ, τῷ ἱερῷ αὐτόπτα, ξένου θεάματος.

Χαίροις, ὁ μωράνας τὸν πτερνιστήν, τρόποις σου ἐνθέοις, καὶ εὔφρανας τὸν Λυτρωτήν, σῇ ἀσκήσει, πάτερ, φωτοειδὲς Ἀνδρέα, πολλῶν θορύβων μέσον, ὁ βιωσάμενος.

Σμῆνος τῶν δαιμόνων ὁ τῷ ἐσμῷ, ἀρετῶν σκορπίσας, ὡς κηφῆνας καὶ τὸ γλυκύ, μέλι τῆς σοφίας, τῆς ὑπὲρ νοῦν συλλέξας, Ἀνδρέα, σῇ ἀσκήσει, κόσμον καθήδυνας.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τὸν μωραῖς προσποιήσεσι καὶ σαλότητι, καθυποτάξαντα πάθη τὰ ψυχοκτόνα σαρκός, καὶ συντρίψαντα μισόκαλον τὸν δόλιον, ὡς θείου Πνεύματος ναὸν καὶ ὁσίων ἀσκητῶν, τιμήσωμεν λαμπηδόνα, σοφὸν Ἀνδρέαν, πρεσβείας, αὐτοῦ πρὸς Κύριον αἰτούμενοι.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾽ ἥν ψάλλομεν τὸ ἑξῆς·

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Πάτερ, ὃ δουλεύσας τῷ Χριστῷ, ταπεινοφροσύνῃ τελείᾳ, γυμνώσει καὶ ἐμπαιγμοῖς, καὶ Βελίαρ δύναμιν τὴν

διαφθείρουσαν, ἤθη σαῖς προσποιήσεσι μωραῖς θριαμβεύσας, λύτρωσαι κακότητος τοῦ παναλάστορος, πάντας καὶ στενώσεων βίου, τοὺς εἰλικρινῶς σὲ τιμῶντας, ἄνθρωπε, Ἀνδρέα, ἰσουράνιε.

Δέσποινα, πρόσδεξαι τάς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον. Δανιηλαίων συνοδίαν, Ἀνδρέα, σὲ τιμῶσαν σκέπε, βόα Χαραλάμπης.

